eul_wid: lcw-ab

*Νίκανδρος ὁ Κολοφώνιος* · Nicander of Colophon

# Alexipharmaca

## *Αλεξιφάρμακα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Εἰ καὶ μὴ σύγκληρα κατ᾽ Ἀσίδα τείχεα δῆμοι
τύρσεσιν ἐστήσαντο τέων ἀνεδέγμεθα βλάστας,
Πρωταγόρη, δολιχὸς δὲ διάπροθι χῶρος ἐέργει,
ῥεῖά κέ τοι ποσίεσσιν ἀλέξια φαρμακοέσσαις
αὐδήσαιμ᾽ ἅ τε φῶτας ἐνιχριμφθέντα δαμάζει.
ἢ γὰρ δὴ σὺ μὲν ἄγχι πολυστροίβοιο θαλάσσης
Ἄρκτον ὑπ᾽ ὀμφαλόεσσαν ἐνάσσαο ἧχί τε Ῥείης
Λοβρίνης θαλάμαι τε καὶ ὀργαστήριον Ἄττεω·
αὐτὰρ ἐγὼ τόθι παῖδες ἐυζήλοιο Κρεούσης
πιοτάτην ἐδάσαντο γεωμορίην ἠπείρου
ἑζόμενοι τριπόδεσσι πάρα Κλαρίοις Ἑκάτοιο.
[para]Ἀλλ᾽ ἤτοι χολόεν μὲν ἰδὲ στομίοισι δυσαλθές
πνυθείης ἀκόνιτον, ὃ δή ῥ᾽ Ἀχερωίδες ὄχθαι
φύουσιν τόθι χάσμα δυσέκδρομον Εὐβουλῆος
ἄστυρά τε Πριόλαο καταστρεφθέντα δέδουπε.
τοῖο δὲ πάντα χαλινὰ καὶ οὐρανόεσσαν ὑπήνην
οὖλά θ᾽ ὑποστύφει χολόεν ποτόν, ἀμφὶ δὲ πρώτοις
εἰλύεται στέρνοισι κακῇ ἀλάλυγγι βαρῦνον
φῶτ᾽ ἐπικαρδιόωντα· δύῃ δ᾽ ἐπιδάκνεται ἄκρον
νειαίρης, ἄκλειστον ἀειρόμενον στόμα γαστρός,
τεύχεος ἣν κραδίην ἐπιδορπίου οἱ δὲ δοχαίην
κλείουσι στομάχοιο, πύλη δ᾽ ἐπικέκλιται ἀρχαῖς
πρῶτα κόλων ὅθι πᾶσα βροτῶν ἅλις ἐμφέρεται δαίς.
αἰεὶ δ᾽ ἐκ φαέων νοτέων ὑπολείβεται ἱδρώς,
ἡ δὲ κυκαομένη τὰ μὲν ἔβρασεν ἤλιθα νηδύς

πνεύματα, πολλὰ δ’ ἔνερθε κατὰ μέσον ὀμφαλὸν ἵζει·
κράατι δ’ ἐν βάρος ἐχθρόν, ὑπὸ κροτάφοισι δὲ παλμός
πυκνὸς ἐπεμφέρεται, τὰ δὲ διπλόα δέρκεται ὄσσοις
οἷα χαλικραίῃ νύχιος δεδαμασμένος οἴνῃ.
ὡς δ’ ὁπότ’ ἀγριόεσσαν ὑποθλίψαντες ὀπώρην
Σιληνοὶ κεραοῖο Διωνύσοιο τιθηνοί
πρῶτον ἐπαφρίζοντι ποτῷ φρένα θωρηχθέντες
ὄθμασι δινήθησαν ἐπισφαλεροῖσι δὲ κώλοις
Νυσαίην ἀνὰ κλιτὺν ἐπέδραμον ἀφραίνοντες,
ὣς οἵγε σκοτόωσι κακῇ βεβαρηότες ἄτῃ.
τὴν μέν τε κλείουσι μυοκτόνον, ἣ γὰρ ἀνιγρούς
παμπήδην ὕρακας λιχμήμονας ἠρήμωσεν·
οἱ δέ τε παρδαλιαγχές, ἐπεὶ θήρεσσι πελώροις
πότμον βουπελάται τε καὶ αἰγινομῆες ἔθεντο
Ἴδης ἐν νεμέεσσι Φαλακραίῃ ἐνὶ βήσσῃ,
πολλάκι θηλυφόνον καὶ κάμμαρον· ἐν δ’ Ἀκοναίοις
δηλήειν ἀκόνιτον ἐνεβλάστησεν ὀρόγκοις.
τῷ καί που τιτάνοιο χερὸς βάρος ἔσσεται ἄρκος
πιμπλαμένης ὅτε νέκταρ ἐύτριβι κιρρὸν ἀφύσσῃς
μετρήδην—κοτύλη δὲ πέλοι καταμέστιος οἴνης—
σὺν δὲ καὶ ἁβροτόνοιο ταμὼν ἄπο καυλέα θάμνου
ἢ χλοεροῦ πρασίοιο τὸ δὴ μελίφυλλον ὑδεῦσι·
καί τε σὺ ποιήεντος ἀειθαλέος χαμελαίης
βλάστην πηγάνιόν τε πόροις, ἐν βάμματι σίμβλων
σβεννὺς αἰθαλόεντα μύδρον γενύεσσι πυράγρης,
ἠὲ σιδηρήεσσαν ἄπο τρύγα τήν τε καμίνων
ἔντοσθεν χοάνοιο διχῇ πυρὸς ἤλασε λιγνύς·
ἄλλοτε δὲ χρυσοῖο νέον βάρος ἐν πυρὶ θάλψας
ἠὲ καὶ ἀργυρόεν θολερῷ ἐνὶ πώματι βάπτοις.
πολλάκι δ’ ἡμιδαὲς χειρὸς βάρος αἴνυσο θρίων
παῦρα χαμαιπίτυος, τότ’ ὀνίτιδος αὖον ὀρείης
ἠὲ νέον ῥάδικα πολυκνήμοιο κολούσας,
τέτρασιν ἐν κυάθοισι χαδεῖν μελιανθέος οἴνης·
ἢ ἔτι μυελόεντα χαλικρότερον ποτὸν ἴσχοις
ὄρνιθος στρουθοῖο κατοικάδος εὖθ’ ὑπὸ χύτρῳ
γυῖα καταθρύπτῃσι βιαζομένη πυρὸς αὐγή·
καί τε βοὸς νέα γέντα περιφλίοντος ἀλοιφῇ
τηξάμενος κορέσαιο ποτῷ εὐχανδέα νηδύν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ναὶ μὴν βαλσάμοιο τότ’ ἐν σταγόνεσσι γάλακτος
θηλυτέρης πώλοιο χέαις ὀπόν, ἄλλοτε νύμφαις,
ἔστ’ ἂν ὑπὲκ φάρυγος χεύῃ παναεργέα δόρπον.
πολλάκι δ’ ἢ σκίνακος δερκευνέος ἢ ἀπὸ νεβροῦ
πυετίην τμήξαιο πόροις δ’ ἐν νέκταρι φύρσας·
ἄλλοτε καὶ μορέης ἄπο ῥίζεα φοινηέσσης
ὅλμου ἐνὶ στύπεϊ προβαλὼν καὶ ὁμήρεα κόψας
οἴνῳ, ἐνεψηθέντα πόροις καμάτοισι μελίσσης·
καί κεν ἐπικρατέουσαν ἀπεχθέα νοῦσον ἀλάλκοις
φωτός, ὁ δ’ ἀσφαλέεσσι πάλιν μετὰ ποσσὶν ὁδεύοι.
[para]Δεύτερα δ’ αἰγλήεντος ἐπιφράζευ πόσιν ἐχθρήν
κιρναμένην ὀλοοῦ ψιμυθίου ἥ τε γάλακτι
πάντοθεν ἀφρίζοντι νέην εἰδήνατο χροιήν
πελλίσιν ἐν γρώνῃσιν ὅτ’ εἴαρι πῖον ἀμέλξαις.
τοῦ μὲν ὑπὲρ γένυάς τε καὶ ᾗ ῥυσαίνεται οὖλα
ἀφρὸς ἐπιστύφων ἐμπλάσσεται, ἀμφὶ καὶ ὁλκός
τέτρηχε γλώσσης, νέατος δ’ ὑποκάρφεται ἰσθμός,
ξηρὰ δ’ ἐπιλλύζων ὀλοῇ χελλύσσεται ἄτῃ,
ἀβλεμὲς ἦ γὰρ κεῖνο πέλει βάρος· αὐτὰρ ὁ θυμῷ
ναυσιόεις ὀλοοῖσιν ὑποτρύει καμάτοισι·
πολλάκι δ’ ἐν φαέεσσιν ἄλην ἑτερειδέα λεύσσων
ἄλλοτε δ’ ὑπναλέος ψύχει δέμας, οὐδ’ ἔτι γυῖα
ὡς τὸ πάρος δονέει, καμάτῳ δ’ ὑποδάμναται εἴκων.
τῷ καὶ πρημαδίης ἢ ὀρχάδος εἶαρ ἐλαίης
ἢ ἔτι μυρτίνης σχεδίην δεπάεσσιν ὀρέξαις
ὄφρ’ ἂν ὀλισθήνασα χέῃ κακὰ φάρμακα νηδύς·
ἠὲ σύ γ’ οὐθατόεντα διοιδέα μαζὸν ἀμέλξας
ῥεῖα πόροις, φιαρὴν δὲ ποτοῦ ἀποαίνυσο γρῆυν.
καί τε σύ γ’ ἢ μαλάχης ῥαδάμους ἢ φυλλάδα τήξας
χυλῷ ἔνι κλώθοντι κακηπελέοντα κορέσσαις.
πολλάκι σήσαμα κόπτε, πόροις δ’ ἐν νέκταρι καὶ τά·
ἠὲ σὺ κληματόεσσαν ἐν ὕδατι πλύνεο τέφρην
θαλπομένην, τὸ δὲ ῥύμμα νεοπλεκέος καλάθοιο
κόλποις ἰκμήνειας, ὁ γάρ τ’ ἀναδέξεται ἰλύν.
καί τε κατατριφθέντα μετ’ ἀργήεντος ἐλαίου
σκλήρ’ ἀπὸ περσείης κάρυα βλάβος οὖλον ἐρύξει,
Περσεὺς ἥν ποτε ποσσὶ λιπὼν Κηφηίδα γαῖαν,
αὐχέν’ ἀποτμήξας ἅρπῃ γονόεντα Μεδούσης,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥεῖα Μυκηναίῃσιν ἐνηέξησεν ἀρούραις,
Κηφῆος νέα δῶρα, μύκης ὅθι κάππεσεν ἅρπης,
ἄκρον ὑπὸ πρηῶνα Μελανθίδος ἔνθα τε Νύμφη
Λαγγείης πόμα κεῖνο Διὸς τεκμήρατο παιδί.
πολλάκι δ’ ἐνθρύψειας ἐν ὀπταλέῃσιν ἀκοσταῖς
Γερραίης λιβάνοιο χύσιν περιπηγέα θάμνοις·
καί τε σύ γ’ ἢ καρύης ἄπο δάκρυον ἢ ἀταλύμνου,
ἢ πτελέης ὅ τε πολλὸν ἀεὶ καταλείβεται ὄσχαις,
κόμμινά τε χλιόεντι ποτῷ ἐπαρωγέα τήξαις,
ὄφρα τὰ μέν τ’ ἐρύγῃσι τὰ δ’ ἑψητοῖσι δαμασθείς
ἀλθήσῃ ὑδάτεσσιν ὅτ’ ἰκμήνῃ δέμας ἱδρώς.
καί κεν ὅγ’ ἄλλοτε δόρπα δεδεγμένος ἄλλοτε δ’ οἴνης
πιοτέρης κορέοιτο, καὶ ἀκλέα πότμον ἀλύξαι.
Μὴ μὲν κανθαρίδος σιτηβόρου εὖτ’ ἂν ὀδώδῃ
κεῖνο ποτὸν δέξαιο χυτῇ ἐναλίγκια πίσσῃ·
πίσσης γὰρ ῥώθωσιν ἄγει βάρος, ἐν δὲ χαλινοῖς
οἷά τε δὴ καρφεῖα νέον βεβρωμένα κέδρου.
αἱ δ’ ὁτὲ μὲν πλαδόωντι ποτῷ ἐπὶ χείλεσι δηχμόν
τεύχουσιν τοτὲ δ’ αὖτε περὶ στόμα νείατα γαστρός·
ἄλλοτε καὶ μεσάτη ἐπιδάκνεται ἄλγεσι νηδύς
ἢ κύστις βρωθεῖσα· περιψαύουσι δ’ ἀνῖαι
θώρηκος τόθι χόνδρος ὑπὲρ κύτος ἕζετο γαστρός·
αὐτοὶ δ’ ἀσχαλόωσιν, ἄλη δέ φιν ἤθεα φωτός
ἄψυχος πεδάει, ὁ δ’ ἀελπέα δάμναται ἄταις,
οἷά τε δὴ γήρεια νέον τεθρυμμένα κάκτου
ἠέρ’ ἐπιπλάζοντα διαψαίρουσι πνοῇσι.
τῷ δὲ σὺ πολλάκι μὲν γληχὼ ποταμηίσι νύμφαις
ἐμπλήδην κυκεῶνα πόροις ἐν κύμβεϊ τεύξας,
νηστείρης Δηοῦς μορόεν ποτὸν ᾧ ποτε Δηώ
λαυκανίην ἔβρεξεν ἀν’ ἄστυρον Ἱπποθόωντος
Θρηίσσης ἀθύροισιν ὑπὸ ῥήτρῃσιν Ἰάμβης.
δήποτε δ’ ἢ σιάλοιο καρήατος ἠὲ καὶ ἀμνοῦ
ἀμμίγδην σπεράδεσσιν ἐυτροχάλοισι λίνοιο,
ἠὲ νέον κορσεῖα ταμὼν κερόεντα χιμαίρης,
ἢ ἔτι που χηνὸς μορόεν ποτὸν αἴνυσο χύτρου,
ἐς δ’ ἔμετον κορέσαιο, τὰ δ’ ἀθρόα νειόθι βράσσοι
ἐμματέων ἔτ’ ἄπεπτα πύλῃ μεμιασμένα δόρπα.
πολλάκι δ’ ἐν κλυστῆρι νέον γλάγος οἰὸς ἀμέλξας

κλύζε, τὰ δ’ ἤλιθα γαστρὸς ἀφόρδια κεινώσειας·
ἄλλοτ’ ἀλυσθαίνοντι ποθὲν γάλα πῖον ἀρήξει·
ἠὲ σύ γ’ ἀμπελόεντα γλυκεῖ ἔνι καυλέα κόψαις
χλωρά, νέον πετάλοισι περιβρίθοντα κολούσας·
ἠὲ μελισσάων καμάτῳ ἔνι παῦρα μορύξαις
σκορπιόεντα χαδὼν ψαθυρῆς ἐκ ῥίζεα γαίης
αἰὲν κεντρήεντα· πόη γε μὲν ὕψι τέθηλεν
οἵη περ μολόθουρος, ἔνισχνα δὲ καυλέα βάλλει.
καί τε σὺ δραχμάων πισύρων βάρος αἴνυσο γαίης
Παρθενίης τὴν Φυλλὶς ὑπὸ κνημοῖσιν ἀνῆκεν,
Ἰμβρασίδος γαίης χιονώδεος ἥν τε κεράστης
ἀμνὸς Χησιάδεσσι νέον σημήνατο Νύμφαις
Κερκέτεω νιφόεντος ὑπὸ σχοινώδεσιν ὄχθαις·
ἢ καὶ σειραίοιο πόσιν διπλήθεα τεύξαις,
σὺν δέ τε πηγανόεντας ἐνιθρύψειας ὀράμνους
ὀργάζων λίπεϊ ῥοδέῳ θρόνα· πολλάκι χραίνοις
ἰρινέῳ τό τε πολλὸν ἐπαλθέα νοῦσον ἔτευξεν.
[para]Ἤν γε μὲν οὐλόμενόν γε ποτὸν κορίοιο δυσαλθές
ἀφραδέως δεπάεσσιν ἀπεχθομένοισι πάσηται,
οἱ μέν τ’ ἀφροσύνῃ ἐμπληγέες οἷά τε μάργοι
δήμια λαβράζουσι παραπλῆγές θ’ ἅτε Βάκχαι
ὀξὺ μέλος βοόωσιν ἀταρμύκτῳ φρενὸς οἴστρῳ.
τῷ μέν τ’ ἐξ ἑδανοῖο πόροις δέπας ἔμπλεον οἴνης,
Πράμνιον αὐτοκρηές, ὅπως ὑπετύψατο ληνοῦ,
ἢ νύμφαις τήξαιο βαλὼν ἁλὸς ἔμπλεα κύμβην,
πολλάκι δ’ ὀρταλίχων ἁπαλὴν ὠδῖνα κενώσας
ἀφρὸν ἐπεγκεράσαιο, θοοῦ δορπήια κέπφου·
τῷ γὰρ δὴ ζωήν τε σαοῖ, καὶ πότμον ἐπισπεῖ
εὖτε δόλοις νήχοντα κακοφθόρα τέκν’ ἁλιήων
οἰωνὸν χραίνωσιν, ὁ δ’ ἐς χέρας ἔμπεσε παίδων
θηρεύων ἀφροῖο νέην κλύδα λευκαίνουσαν.
καί τε σύ γ’ ἀγλεύκην βάψαις ἰόεντα θάλασσαν,
ἥν τε καὶ ἀτμεύειν ἀνέμοις πόρεν Ἐννοσίγαιος
σὺν πυρί· καὶ γὰρ δὴ τὸ πνοαῖς συνδάμναται ἐχθραῖς.
πῦρ μὲν ἀείζωον καὶ ἀχύνετον ἔτρεσεν ὕδωρ
ἀργέστας· καί ῥ’ ἡ μὲν ἀκοσμήεσσα φιλοργής
δεσπόζει νηῶν τε καὶ ἐμφθορέων αἰζηῶν,
ὕλη δ’ ἐχθομένοιο πυρὸς κατὰ θεσμὸν ἀκούει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ναὶ μὴν ἀτμένιόν τε κεραιόμενον λίπος οἴνῃ
ἢ χιόνι γλυκέος μίγδην πόσις ἄλγος ἐρύξει,
ἦμος ὑπὸ ζάγκλῃσι περιβρίθουσαν ὀπώρην
ῥυσαλέην ἑδανοῖο καὶ ἐκ ψιθίης ἑλίνοιο
κείροντες θλίβωσιν, ὅτε ῥοιζηδὰ μέλισσαι,
πεμφρηδών, σφῆκές τε καὶ ἐκ βέμβικες ὄρειαι
γλεῦκος ἅλις δαίνυνται ἐπὶ ῥαγέεσσι πεσοῦσαι,
πιοτέρην ὅτε βότρυν ἐσίνατο κηκὰς ἀλώπηξ.
[para]Καί τε σὺ κωνείου βλαβόεν τεκμαίρεο πῶμα·
κεῖνο ποτὸν δὴ γάρ τε καρήατι φοινὸν ἰάπτει
νύκτα φέρον σκοτόεσσαν· ἐδίνησεν δὲ καὶ ὄσσε,
ἴχνεσι δὲ σφαλεροί τε καὶ ἐμπλάζοντες ἀγυιαῖς
χερσὶν ἐφερπύζουσι· κακὸς δ’ ὑπὸ νείατα πνιχμός
ἴσθμια καὶ φάρυγος στεινὴν ἐμφράσσεται οἶμον·
ἄκρα δέ τοι ψύχει, περὶ δὲ φλέβες ἔνδοθι γυίων
ῥωμαλέαι στέλλονται· ὁ δ’ ἠέρα παῦρον ἀτύζει
οἷα κατηβολέων, ψυχὴ δ’ Ἀιδωνέα λεύσσει.
τὸν μέν τ’ ἢ λίπεος κορέοις ἢ ἀμισγέος οἴνης
ὄφρα κεν ἐξερύγῃσι κακὴν καὶ ἐπώδυνον ἄτην,
ἠὲ σύ γε κλυστῆρος ἐνεὶς ὁπλίζεο τεῦχος·
πολλάκι δ’ ἢ οἴνης ἀμιγῆ πόσιν, ἢ ἀπὸ δάφνης
Τεμπίδος ἢ δαυχμοῖο φέροις ἐκ καυλέα κόψας
ἣ πρώτη Φοίβοιο κατέστεφε Δελφίδα χαίτην,
ἢ πέπερι κνίδης τε μίγα σπερμεῖα λεήνας
νείμειας, τοτὲ νέκταρ ὀπῷ ἐμπευκέι χράνας·
δήποτε δ’ ἰρινέου θυέος μετρηδὸν ὀρέξαις
σίλφιά τ’ ἐνθρυφθέντα μετ’ ἀργήεντος ἐλαίου·
ἐν δὲ μελιζώρου γλυκέος πόσιν, ἐν δὲ γάλακτος
ἀφριόεν νέμε τεῦχος ὑπὲρ πυρὸς ἠρέμα θάλψας.
[para]Καί κεν λοιγήεντι παρασχεδὸν ἄχθος ἀμύνοις
τοξικῷ, εὖτ’ ἀχέεσσι βαρύνηται ποτῷ ἀνήρ.
τοῦ καὶ ἔνερθε γλῶσσα παχύνεται, ἀμφὶ δὲ χείλη
οἰδαλέα βρίθοντα περὶ στομάτεσσι βαρύνει,
ξηρὰ δ’ ἀναπτύει, νεόθεν δ’ ἐκρήγνυται οὖλα·
πολλάκι δ’ ἐς κραδίην πτοίην βάλε, πᾶν δὲ νόημα
ἔμπληκτον μεμόρηκε κακῇ ἐσφαλμένον ἄτῃ·
αὐτὰρ ὁ μηκάζει μανίης ὕπο μυρία φλύζων,
δηθάκι δ’ ἀχθόμενος βοάᾳ ἅ τις ἐμπελάδην φώς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμφιβρότην κώδειαν ἀπὸ ξιφέεσσιν ἀμηθείς,
ἢ ἅτε κερνοφόρος ζάκορος βωμίστρια Ῥείης,
εἰνάδι λαοφόροισιν ἐνιχρίμπτουσα κελεύθοις,
μακρὸν ἐπεμβοάᾳ γλώσσῃ θρόον, οἱ δὲ τρέουσιν
Ἰδαίης ῥιγηλὸν ὅτ’ εἰσαΐωσιν ὑλαγμόν·
ὣς ὁ νόου λύσσῃ ἐσφαλμένα βρυχανάαται
ὠρυδόν, λοξαῖς δὲ κόραις ταυρώδεα λεύσσων
θήγει λευκὸν ὀδόντα παραφρίζει δὲ χαλινοῖς.
τὸν μὲν καὶ δεσμοῖσι πολυπλέκτοισι πιέξας
νέκταρι θωρήξαιο, καὶ οὐ χατέοντα κορέσκων
ἧκα βιησάμενος· διὰ δὲ στόμα βρῦκον ὀχλίζοις
ὄφρ’ ἂν ὑπεξερύγῃσι δαμαζόμενος χερὶ λώβην·
ἠὲ σὺ βοσκαδίης χηνὸς νέον ὀρταλιχῆα
ὕδασιν ἐντήξαιο πυρὸς μεμορημένον αὐγαῖς·
καί τε σὺ μηλείης ῥηχώδεος ἄγρια κάρφη
οὔρεσιν ἐνθρεφθέντα πόροις ἀπὸ σίνεα κόψας,
ἢ ἔτι καὶ κλήροισιν ἐπήβολα τοῖά περ ὧραι
εἰαριναὶ φορέουσιν ἐνεψιήματα κούραις,
ἄλλοτε δὲ στρούθεια, τοτὲ βλοσυροῖο Κύδωνος
κεῖνο φυτὸν Κρήτηθεν ὃ δή ῥ’ ἐκόμισσαν ἄναυροι·
πολλάκι δὴ σφύρῃσιν ἅλις ἐναολλέα κόψας
ὕδασιν ἐμβρέξαιο, νέην δ’ ὀσμήρεα γληχώ
σπέρμασι μηλείοισι βάλοις ἐνομήρεα φύρων·
καί τε σύ γε ῥοδέης θυόεν μαλλοῖσιν ἀφύσσων
παῦρα λίπος στάξειας ἀνοιγομένοις στομάτεσσιν,
ἠὲ καὶ ἰρινέοιο· μόλις δέ κε μυρί’ ἐπιτλάς
ἤμασιν ἐν πολέεσσιν ἀκροσφαλὲς ἴχνος ἰήλαι
ἀσφαλέως πτοιητὸν ἔχων ἑτεροπλανὲς ὄθμα.
τῷ μὲν Γερραῖοι νομάδες χαλκήρεας αἰχμάς
οἵ τε παρ’ Εὐφρήταο ῥόον πολέοντες ἀρούρας
χραίνουσιν· τὰ δὲ πολλὸν ἀναλθέα τραύματα τεύχει
σάρκα μελαινομένην, πικρὸς δ’ ὑποβόσκεται Ὕδρης
ἰός, σηπόμενον δὲ μύδῳ ἐκρήγνυται ἔρφος.
[para]Ἢν δὲ τὸ Μηδείης Κολχηίδος ἐχθόμενον πῦρ,
κεῖνό τις ἐνδέξηται ἐφήμερον, οὗ περὶ χείλη
δευομένου δυσάλυκτος ἰάπτεται ἄμμιγα κνηθμός
οἷά τ’ ὀπῷ νιφόεντι κράδης ἢ τρηχέι κνίδῃ
χρῶτα μιαινομένοις ἢ καὶ σπειρώδεϊ κόρσῃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκίλλης ἥ τ’ ἔκπαγλα νέην φοινίξατο σάρκα.
τοῦ καὶ ἐπισχομένοιο περὶ στόμαχον βάρος ἵζει
πρῶτον ἐρεπτόμενον, μετέπειτα δὲ λοιγέι συρμῷ
ῥιζόθεν ἑλκωθέντα, κακὸν δ’ ἀποήρυγε δειρῆς,
σὺν δέ τε καὶ νηδὺς μεμιασμένα λύματα βάλλει
ὡς εἴ τε κρεάων θολερὸν πλύμα χεύατο δαιτρός.
ἀλλὰ σὺ πολλάκι μὲν χαίτην δρυὸς οὐλάδα κόψας,
πολλάκι καὶ φηγοῖο πόροις ἀκύλοισιν ὁμαρτῇ,
ἠὲ σύ γε βδήλαιο νέον γλάγος ἔνδοθι πέλλης·
αὐτὰρ ὁ τοῦ κορέοιτο καὶ ἐν στομάτεσσιν ἐρύξας.
ἦ μὴν πουλυγόνοιο τοτὲ βλαστήματ’ ἀρήξει,
ἄλλοτε δὴ ῥιζεῖα καθεψηθέντα γάλακτι.
σὺν δὲ καὶ ἀμπελόεις ἕλικας ἐνθρύπτεο νύμφαις,
ἴσως καὶ βατόεντα περὶ πτορθεῖα κολούσας.
καί τε σὺ γυμνώσειας ἐυτρεφέος νέα τέρφη
καστηνοῦ, καρύοιο λαχυφλοίοιο κάλυμμα,
νείαιραν τόθι σάρκα περὶ σκύλος αὖον ὀπάζει
δυσλεπέος καρύοιο τὸ Κασταvὶς ἔτρεφεν αἶα.
ῥεῖα δὲ νάρθηκος νεάτην ἐξαίνυσο νηδύν
ὅς τε Προμηθείοιο κλοπὴν ἀνεδέξατο φωρῆς·
σὺν δὲ καὶ ἑρπύλλοιο φιλοζώοιο πέτηλα
εὐφίμου τ’ ἀπὸ καρπὸν ἅλις καταβάλλεο μύρτου·
ἢ καί που σιδόεντος ἀποβρέξαιο κάλυμμα
καρπείου, μιγάδην δὲ βαλὼν ἐμπίσεο μήλοις
ὄφρ’ ἂν ἐπῇ στῦφόν τι ποτῷ, νοῦσον δὲ κεδάσσεις.
[para]’Ιξιόεν δέ σε μή τι δόλῳ παρὰ χείλεσι πῶμα
οὐλόμενον λήσειεν ὅ τ’ ὠκιμοειδὲς ὄδωδε.
τοῦ μὲν ὑπὸ γλώσσης νέατος τρηχύνεται ὁλκός
νέρθεν ἐπιφλεγέθων, τὸ δέ οἱ ἐμπλάζεται ἦτορ·
λυσσηθεὶς γλῶσσαν δὲ καταπρίει κυνόδοντι,
δὴ γὰρ ὅγ’ ἔμπληκτος φρένα δάμναται· ἀμφὶ δὲ δοιούς
εἰκῆ ἐπιφράσσουσα πόρους τυφλώσατο νηδύς
ὑγρῶν τε βρωτῶν τε, καταπνίγουσα δὲ πνεῦμα
ἐντὸς ὑποβρομέει, ὀλίγῳ δ’ ἐνελίσσεται ὄγμῳ
πολλάκι δὴ βροντῇσιν ἀνομβρήεντος ’Ολύμπου
εἰδόμενον, τοτὲ δ’ αὖτε κακοῖς ῥόχθοισι θαλάσσης
οἵοις πετραίῃσιν ὑποβρέμεται σπιλάδεσσι.
τῷ καὶ στρευγομένῳ περ ἀνήλυθεν ἐκ καμάτοιο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πνεῦμα μόλις, πόσιες δὲ παραυτίκα λύματ’ ἔχευαν
φαρμακόεις ᾠοῖσιν ἀλίγκια τοῖά τε βοσκάς
ὀρταλὶς αἰχμητῇσιν ὑπευνασθεῖσα νεοσσοῖς
ἄλλοτε μὲν πληγῇσι νέον θρομβήια γαστρός
ἔκβαλεν ἐν μήνιγξιν ἀνόστρακα, πολλάκι νούσῳ
δαμναμένη δύσποτμον ὑπὲκ γόνον ἔκχεε γαίῃ.
τῷ μέν τ’ εὐβραχέος ἀψινθίου ἄλγος ἐρύξει
ἐνστῦφον πόμα κεῖνο νεοθλίπτῳ ὑπὸ γλεύκει·
καί ποτε ῥητίνην τερμινθίδα, πολλάκι πεύκης,
πολλάκι καὶ πίτυος γοερῆς ἀπὸ δάκρυα τμήξαις
Μαρσύου ἧχί τε Φοῖβος ἀπὸ φλόα δύσατο γυίων·
ἡ δὲ μόρον πολύπυστον ἐπαιάζουσα κατ’ ἄγκη
οἴη συνεχέως ἁδινὴν ἀναβάλλεται ἠχήν.
ἆσαι δ’ ἢ πολίοιο μυοκτόνου ἀργέος ἄνθην,
ἢ ἔτι καὶ ῥυτῆς πεδανὰς ἀπαμέργεο βλάστας,
νάρδον, λιμναίου τε χαδὼν ἀπὸ κάστορος ὄρχιν·
ἢ ὀδελὸν κνηστῆρι κατατρίψαιο χαρακτῷ
σιλφίου, ἄλλοτε δ’ ἶσον ἀποτμήξειας ὀποῖο·
πολλάκι δ’ ἀγροτέρης τραγοριγάνου ἠὲ γάλακτος
πηγνυμένου κορέοιτο νεημέλκτῃ ἐνὶ πέλλῃ.
[para]Ἢν δέ τις ἀφροσύνῃ ταύρου νέον αἷμα πάσηται,
στρευγεδόνι προδέδουπε δαμαζόμενος καμάτοισιν
ἦμος πιλνάμενον στέρνοις κρυσταίνεται εἶαρ
ῥεῖα θρομβοῦται δὲ μέσῳ ἐνὶ τεύχεϊ γαστρός·
φράσσονται δὲ πόροι, τὸ δὲ θλίβεται ἔνδοθι πνεῦμα
αὐχένος ἐμπλασθέντος, ὁ δὲ σπαδόνεσσιν ἀλύων
δηθάκις ἐν γαίῃ σπαίρει μεμορυχμένος ἀφρῷ.
τῷ μέν τ’ ἢ ὀπόεντας ἀποκραδίσειας ἐρινούς
ὄξει δ’ ἐμπίσαιο, τὸ δ’ ἀθρόον ὕδατι μίξαις
συγκεράων νύμφας τε καὶ ἐνστῦφον ποτὸν ὄξευς·
ἠὲ καὶ ἐκβδήλαιο καταχθέος ἕρματα γαστρός.
καί τε σὺ πυετίην ὀθόνης πολυωπέι κόλπῳ
φύρσιμον ἠθήσαιο, τοτὲ προκός, ἄλλοτε νεβροῦ
ἢ ἐρίφου, τοτὲ δ’ ἂν σὺ καὶ εὐσκάρθμοιο λαγωοῦ
αἰνύμενος μογέοντι φέροις εὐαλθέ’ ἀρωγήν.
ἠὲ λίτρου στήδην ὀδελοῦ πόρε τριπλόον ἄχθος
εὐτριβέος, κίρνα δὲ ποτῷ ἐν δεύκεϊ Βάκχου,
ἐν καὶ σιλφιόεσσαν ὀποῖό τε μοιρίδα λίτρην,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ σπέραδος κραμβῆεν ἅδην μεμορυχμένον ὄξει·
ἆσαι δὲ ῥάδικα κακοχλοίοιο κονύζης,
ἢ πέπεριν τά τε βλαστὰ κατασμώξαιο βάτοιο,
καί κεν πηγνυμένοιο χύσιν διὰ ῥεῖα κεδάσσαις
ἠὲ διαθρύψειας ἐν ἄγγεσιν ἑστηυῖαν.
Μὴ μὲν ἐπαλγύνουσα πόσις βουπρήστιδος ἐχθρῆς
λήσειεν, σὺ δὲ φῶτα δαμαζόμενον πεπύθοιο.
ἡ δ’ ἤτοι λίτρῳ μὲν ἐπιχρώζουσα χαλινά
εἴδεται ἐμβρυχθεῖσα βαρύπνοος· ἀμφὶ δὲ γαστρός
ἄλγεα δινεύοντα περὶ στομάτεσσιν ὄρωρεν,
οὖρα δὲ τυφλοῦται, νεάτη δ’ ὑπὸ κύστις ὀρεχθεῖ,
πᾶσα δέ οἱ νηδὺς διαπίμπραται ὡς ὁπόθ’ ὕδρωψ
τυμπανόεις ἀνὰ μέσσον ἀφυσγετὸς ὀμφαλὸν ἵζει,
ἀμφὶ δέ οἱ γυίοις τετανὸν περιφαίνεται ἔρφος.
ἡ καί που δαμάλεις ἐριγάστορας ἄλλοτε μόσχους
πίμπραται ὁππότε θῆρα νομαζόμενοι δατέονται,
τούνεκα τὴν βούπρηστιν ἐπικλείουσι νομῆες.
τῷ δὲ καὶ εὐκραδέος τριέτει ἐν νέκταρι μίξαις
συκέης αὐανθεῖσαν ἅλις πόσιν ὀμφαλόεσσαν,
ἢ ἔτι καὶ σφύρῃ μιγάδην τεθλασμένα κόψας
ἐν πυρὶ τηξάμενος πορέειν ἀλκτήρια νούσων.
καί κε μελιζώροιο νέον κορέσαιο ποτοῖο
ἀνέρα λαιμάσσοντα, τοτὲ γλάγος εἰν ἑνὶ χεύας·
πολλάκι φοίνικος ψαφαρὸν καταμίσγεο καρπόν,
ἄλλοτε δ’ αὐαλέας δὴν ἀχράδας, ἢ ἀπὸ βάκχης,
ἢ ἀπὸ μυρτίνης, ὁτὲ μυρτίδας οἰνάδι βάλλων.
ἢ ὅγε καὶ θηλῆς ἅτε δὴ βρέφος ἐμπελάοιτο
ἀρτιγενές, μαστοῦ δὲ ποτὸν μοσχηδὸν ἀμέλγοι,
οἵη τ’ ἐξ ὑμένων νεαλὴς ὑπὸ οὔθατα μόσχος
βράσσει ἀνακρούουσα χύσιν μενοεικέα θηλῆς.
ἄλλοτε πιαλέης πόσιος χλιαροῖο κορέσκοις,
ἐς δ’ ἔμετον βιάοιο καὶ οὐ ποθέοντά περ ἔμπης
χειρὶ βιαζόμενος ἠὲ πτερῷ, ἢ ἀπὸ βύβλου
στρεβλὸν ἐπιγνάμψαιο ταμὼν ἐρυτῆρα φάρυγγος.
[para]Ἢν δ’ ἐπιτυρωθῇ νεαρὸν γάλα τεύχεϊ γαστρός,
δὴ τοτὲ τόνδε πνιχμὸς ἀθροιζομένοιο δαμάζει.
τῷ δ’ ἤτοι τρισσὰς πόσιας πόρε, μέσσα μὲν ὄξευς
δοιὰς δὲ γλυκέος, στεγανὴν δ’ ὑποσύρεο νηδύν·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἢ ἔτι καὶ Λιβύηθε ποτῷ ἐγκνήθεο ῥίζας
σιλφίου, ἄλλοτ’ ὀποῖο, νέμοις δ’ ἐν βάμματι τήξας·
πολλάκι δὲ θρύπτειραν ἐπεγκεράσαιο κονίην,
ἠὲ νέον βρυόεντα θύμου στάχυν· ἄλλοτ’ ἀμύνει
βότρυς ἐυκνήμοιο μίγα βρεχθέντος ἐν οἴνῃ·
ἐν καί που ταμίσοιο ποτὸν διεχεύατο θρόμβους,
καὶ χλοεραὶ μίνθης ἄπο φυλλάδες ἠὲ μελίσσης
ἠὲ καὶ ἐνστύφοντι ποτῷ μεμορυχμέναι ὄξευς.
[para]Ἀλλ’ ἄγε δὴ φράζοιο δορύκνιον, οὗ τε γάλακτι
ὠπή τε βρῶσίς τε παρὰ στομάτεσσιν ἔικται·
τῷ δ’ ἤτοι λυγμοὶ μὲν ἀηθέσσοντες ὁμαρτῇ
αὐχέν’ ἀνακρούουσιν, ὁ δ’ ἀχθόμενος στόμα γαστρός
πολλάκι μὲν δαίτην ἀπερεύγεται αἱματόεσσαν,
ἄλλοτε νηδυίων θολερὴν μυξώδεα χεύει
τηνεσμῷ ὡς εἴ τε δυσέντερος ἀχθόμενος φώς·
δήποτε τειρόμενος καμάτοις κάρφουσι δέδουπε
γυῖα δαμείς· οὐ μὲν ποθέει ξηρὸν στόμα δεῦσαι.
τῷ δὲ σὺ πολλάκι μὲν γλάγεος πόσιν, ἄλλοτε μίγδην
ῥεῖα γλυκὺ νείμειας ἀλυκρότερον δεπάεσσι·
καί τε καὶ ὄρνιθος φιαρῆς πυρὶ τηκομένη σάρξ
θωρήκων ἤμυνεν ἐυτρεφέων βρωθεῖσα·
ἤμυνεν καὶ χυλὸς ἅλις κύμβῃσι ῥοφηθείς,
ὅσσα τε πετρήεντος ὑπὸ ῥόχθοισι θαλάσσης
κνώδαλα φυκιόεντας ἀεὶ περιβόσκεται ἀγμούς·
ὧν τὰ μὲν ὠμὰ πάσαιτο, τὰ δ’ ἑφθέα, πολλὰ δὲ θάλψας
ἐν φλογιῇ. στρόμβων δὲ πολὺ πλέον, ἢ ἔτι κάλχης,
κηραφίδος, πίνης τε καὶ αἰθήεντος ἐχίνου
δαῖτες ἐπαλθήσουσιν ἰδὲ κτένες· οὐδέ τι κῆρυξ
δὴν ἔσεται τήθη τε γεραιρόμενα μνίοισι.
[para]Μηδέ σέ γ’ ἐχθομένη λήθῃ πόσις—οὐ γὰρ ἄιδρις—
Φαρικοῦ, ἣ γναθμοῖσιν ἔπι βαρὺν ὤπασε μόχθον.
τὴν ἤτοι γευθμῷ μὲν ἰσαιομένην μάθε νάρδῳ,
ἤνυσε δὲ σφαλερούς, ὁτὲ δ’ ἄφρονας, ἐν δὲ μονήρει
ῥηιδίως ἀκτῖνι βαρὺν κατεναίρεται ἄνδρα.
ἀλλὰ σὺ πολλάκι μὲν σταδίην εὐανθέα νάρδου
ῥιζίδα θυλακόεσσαν ὀπάζεο τήν τε Κίλισσαι
πρηόνες ἀλδαίνουσι παρὰ πλημμυρίδα Κέστρου,
ἄλλοτε δὲ σμυρνεῖον ἐυτριβές. αἴνυσο δ’ αὐτήν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἴριδα λειριόεν τε κάρη τό τ’ ἀπέστυγεν Ἀφρώ,
οὕνεκ’ ἐριδμαίνεσκε χρόης ὕπερ, ἐν δέ νυ θρίοις
ἀργαλέην μεσάτοισιν ὀνειδείην ἐπέλασσε
δεινὴν βρωμήεντος ἐναλδήνασα κορύνην.
πολλάκι δὲ σκύλαιο κάρη, περὶ δ’ αἴνυσο λάχνην
κέρσας εὐήκει νεόθεν ξυρῷ, ἐν δέ νυ θάλψαις
ἤια κριθάων νεοθηλέα φυλλάδα τ’ ἰσχνήν
πηγάνου ἥν τ’ ὤκιστα βορῇ ἐπεσίνατο κάμπη,
βάμματι δ’ ἐνδεύσαιο καὶ εὖ περὶ κόρσεα πλάσσοις.
Μηδὲ συοσκυάμῳ τις ἀιδρήεντα κορέσκοι
νηδύν, οἷά τε πολλὰ παρασφαλέες τεύχονται,
ἠὲ νέον σπείρημα καὶ ἀμφίκρηνα κομάων
κοῦροι ἀπειπάμενοι ὀλοήν θ’ ἑρπηδόνα γυίων,
ὀρθόποδες βαίνοντες ἄνις σμυγεροῖο τιθήνης
ἠλοσύνῃ βρύκουσι κακανθήεντας ὀράμνους,
οἷα νέον βρωτῆρας ὑπὸ γναθμοῖσιν ὀδόντας
φαίνοντες τότε κνηθμὸς ἐνοιδέα δάμναται οὖλα.
τῷ δ’ ὁτὲ μὲν καθαρὴν γλάγεος πόσιν ἄλθεα πίσαις,
ἄλλοτε βουκέραος χιληγόνου ὅ ῥα κεραίας
εὐκαμπεῖς πετάλοισιν ὑπηνεμίοισιν ἀέξει,
ἀτμενίῳ μέγ’ ὄνειαρ ὅτ’ ἐμπλώῃσιν ἐλαίῳ.
ἠὲ σύ γ’ αὐαλέον κνίδης σπόρον, ἄλλοτε δ’ αὐτήν
νείμαις ὠμόβρωτον ἄδην ἀνὰ φυλλάδ’ ἀμέλξαι,
κίχορα καρδαμίδας τε καὶ ἣν Περσεῖον ἔπουσιν,
ἐν δέ τε νάπειον ῥάφανόν θ’ ἅλις, ἐν δέ τε λεπτάς
ἄμμιγα κρομμύων γηθυλλίδας· ἤρκεσε δ’ ἄτην
εὐάγλις κώδεια νέον σκορόδοιο ποθεῖσα.
[para]Καί τε σὺ μήκωνος κεβληγόνου ὁππότε δάκρυ
πίνωσιν, πεπύθοιο καθυπνέας· ἀμφὶ γὰρ ἄκρα
γυῖα καταψύχουσι, τὰ δ’ οὐκ ἀναπίτναται ὄσσε
ἀλλ’ αὔτως βλεφάροισιν ἀκινήεντα δέδηεν·
ἀμφὶ καὶ ὀδμήεις καμάτῳ περιλείβεται ἱδρώς
ἀθρόος, ὠχραίνει δὲ ῥέθος, πίμπρησι δὲ χείλη,
δεσμὰ δ’ ἐπεγχαλάουσι γενειάδος, ἐκ δέ τε παῦρον
αὐχένος ἑλκόμενον ψυχρὸν διανίσσεται ἄσθμα·
πολλάκι δ’ ἠὲ πελιδνὸς ὄνυξ μόρον ἢ ἔτι μυκτήρ
στρεβλὸς ἀπαγγέλλει, ὁτὲ δ’ αὖ κοιλώπεες αὐγαί.
ἅσσα σὺ μὴ δείδιχθι, μέλοιο δὲ πάμπαν ἀρωγῆς

οἰνάδι καὶ γλυκόεντι ποτῷ κεκαφηότα πιμπλάς
τινθαλέῳ· τοτὲ δ’ ἔργα διαθρύψαιο μελίσσης
ἄμμιγα ποιπνύων Ὑμησσίδος αἵ τ’ ἀπὸ μόσχου
σκήνεος ἐξεγένοντο δεδουπότος ἐν νεμέεσσιν·
ἔνθα δὲ καὶ κοίλοιο κατὰ δρυὸς ἐκτίσσαντο
πρῶτόν που θαλάμας συνομήρεες, ἀμφὶ καὶ ἔργων
μνησάμεναι Δηοῖ πολυωπέας ἤνυσαν ὄμπας
βοσκόμεναι θύμα ποσσὶ καὶ ἀνθεμόεσσαν ἐρείκην.
δήποτε δ’ ἢ ῥοδέοιο νέον θύος εὔτριχι λήνει,
ἠὲ καὶ ἰρινόεν, τοτὲ δ’ αὖ μορόεντος ἐλαίης,
ὀχλίζων κυνόδοντα, τότ’ ἠμύουσι χαλινοῖς,
ἐνθλίβοις, μαλλὸν δὲ βαθὺν κεκορημένον ἕλκοι.
αἶψα δὲ τόν γ’ ἑκάτερθε διὰ ῥέθος ἔγρεο πλήσσων,
ἄλλοτε δ’ ἐμβοόων, τοτὲ δὲ κνώσσοντα σαλάσσων,
ὄφρα κατηβολέων ὀλοὸν διὰ κῶμα κεδαίῃ,
τῆμος δ’ ἐξερύγῃσιν ἀλεξόμενος κακὸν ἄλγος.
σπεῖρα δ’ ἐνὶ χλιαρῷ λίπεϊ, πρὸ δὲ νέκταρι, βάπτων
τρῖβε καὶ ἐκθέρμαινε ποτῷ ἐψυγμένα γυῖα,
ἄλλοτε δ’ ἐν δροίτῃ κεράων ἐμβάπτεο σάρκας,
αἶψα δὲ τινθαλέοισιν ἐπαιονάασθε λοετροῖς
αἷμ’ ἀναλυόμενοι τετανόν τ’ ἐσκληκότα ῥινόν.
Εἰδείης δὲ λαγοῖο κακοφθορέος πόσιν αἰνήν,
οὐλομένην, τὸν κῦμα πολυστίου τέκεν ἅλμης.
τοῦ δ’ ἤτοι λοπίδων μὲν ἰδὲ πλύματος πέλει ὀδμή,
γευθμὸς δ’ ἰχθυόεις νεπόδων ἅτε σαπρυνθέντων,
ἠὲ καὶ ἀρρύπτων ὁπόταν λοπὶς αὐξίδα χραίνῃ.
ὃς δ’ ἤτοι ῥυπόεις μὲν ὑπ’ ὀστλίγγεσσιν ἀραιαῖς
τευθίδος ἐμφέρεται νεαλὴς γόνος ἢ ἅτε τεύθου,
οἷά τε σηπιάδος φυξήλιδος ἥ τε μελαίνει
οἶδμα χολῇ δολόεντα μαθοῦσ’ ἀγρώστορος ὁρμήν.
τῶν ἤτοι ζοφόεις μὲν ἐπὶ χλόος ἔδραμε γυίοις
ἰκτερόεις, σάρκες δὲ περισταλάδην μινύθουσι
τηκόμεναι, ὁ δὲ δόρπα κατέστυγεν· ἄλλοτε ῥινός
ἄκρον ἐποιδαίνων σφυρὰ πίμπραται, ἀμφὶ δὲ μήλοις
ἄνθε’ ἅτε βρυόεντα κυλοιδιόωντος ἐφίζει.
δὴ γὰρ ἐφωμάρτησεν ὀλιζοτέρη ῥύσις οὔρων,
ἄλλοτε πορφυρέη, τότ’ ἐπὶ πλέον αἱμάσσουσα.
πᾶς δὲ παρὰ δρακέεσσι φανεὶς ἐχθαίρεται ἔλλοψ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὰρ ὁ ναυσιόεις ἁλίην ἐμυσάξατο δαῖτα.
τῷ μὲν Φωκήεσσαν ἅλις πόσιν ἐλλεβόροιο
νείμειας, τοτὲ δάκρυ νεοβλάστοιο κάμωνος,
ὄφρα ποτὸν νέποδός τε κακοῦ ἐκ φύρματα χεύῃ·
ἄλλοτε βρωμήεντος ἀμελγόμενος γάλα πίνοι,
ἠὲ χύτρῳ τήξας μαλάχης λιπόωντας ὀράμνους·
καί ποτε κεδρινέης πελάνου βάρος ἔμμορε πίσσης,
βρύκοι δ’ ἄλλοτε καρπὸν ἅλις φοινώδεα σίδης
Κρησίδος, οἰνωπῆς τε καὶ ἣν Προμένειον ἔπουσι,
σὺν δὲ καὶ Αἰγινῆτιν, ὅσαι τ’ ἐσκληκότα κάρφη
φοίνι’ ἀραχνήεντι διαφράσσουσι καλύπτρῃ·
ἄλλοτε δ’ οἰνοβρῶτα βορὴν ἐν κυρτίδι θλίψαις
ὡς εἴ περ νοτέουσαν ὑπὸ τριπτῆρσιν ἐλαίην.
Ἢν δέ τις ἀζαλέῃ πεπιεσμένος αὐχένα δίψῃ
ἐκ ποταμοῦ ταυρηδὸν ἐπιπροπεσὼν ποτὸν ἴσχῃ
λεπτὰ διαστείλας παλάμῃ μνιώδεα θρῖα,
τῷ μέν τε ῥοιζηδὰ φιλαίματος ἐμπελάουσα
ῥύμῃ ἅλις προὔτυψε ποτοῦ μέτα χήτεϊ βρώμης
βδέλλα πάλαι λαπαρή τε καὶ ἱμείρουσα φόνοιο.
ἢ ὅθ’ ὑπὸ ζοφερῆς νυκτὸς κεκαλυμμένος αὐγάς
ἀφραδέως κρωσσοῖο κατακλίνας ποτὸν ἴσχῃ
χείλεσι πρὸς χείλη πιέσας, τὸ δὲ λαιμὸν ἀμείψῃ
κνώδαλον ἀκροτάτοισιν ἐπιπλῶον ὑδάτεσσι,
ταὶ μὲν ἵνα πρώτιστον ὀχλιζομένας ῥόος ὤσῃ
ἀθρόα προσφύονται ἀμελγόμεναι χροὸς αἷμα,
ἄλλοτε μέν τε πύλῃσιν ἐφήμεναι ἔνθα τε πνεῦμα
αἰὲν ἀθροιζόμενον στεινοῦ διαχεύεται ἰσθμοῦ,
ἄλλοτε δὲ στομίοισι πέριξ ἐπενήνοθε γαστρός
ἀνέρα πημαίνουσα, νέην δ’ ἐπενείματο δαῖτα.
τῷ σὺ τότ’ ἐν δεπάεσσι κεραιόμενον ποτὸν ὄξευς
νείμειας, ποτὲ δαῖτα συνήρεα χιονόεσσαν,
πολλάκι κρυστάλλοιο νέον βορέῃσι παγέντος.
ἠὲ σὺ γυρώσαιο καθαλμέα βώλακα γαίης
ναιομένην, θολερὴν δὲ πόσιν μενοεικέα τεῦχε·
ἢ αὐτὴν ἅλα βάπτε, τότ’ ἠελίοισι δαμάζων
εἶθαρ ὀπωρινοῖσι, τότ’ ἠνεκὲς ἐν φλογὶ θάλψας.
πολλάκι δ’ ἢ ἅλα πηκτὸν ὁμιλαδόν, ἢ ἁλὸς ἄχνην
ἐμπίσαις τήν τ’ αἰὲν ἀνὴρ ἁλοπηγὸς ἀγείρει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νειόθ’ ὑφισταμένην ὁπόθ’ ὕδασιν ὕδατα μίξῃ.
[para]Μὴ μὲν δὴ ζύμωμα κακὸν χθονὸς ἀνέρα κήδοι
πολλάκι μὲν στέρνοισιν ἀνοιδέον, ἄλλοτε δ’ ἄγχον,
εὖτ’ ἐπὶ φωλεύοντα τραφῇ βαθὺν ὁλκὸν ἐχίδνης
ἰὸν ἀνικμαῖνον στομίων τ’ ἀποφώλιον ἄσθμα.
κεῖνο κακὸν ζύμωμα τὸ δή ῥ’ ὑδέουσι μύκητας
παμπήδην, ἄλλῳ γὰρ ἐπ’ οὔνομα κέκριται ἄλλο.
ἀλλὰ σύ γ’ ἢ ῥαφάνοιο πόροις σπειρώδεα κόρσην,
ἢ ῥυτῆς κλώθοντα περὶ σπάδικα κολούσας·
πολλάκι καὶ χαλκοῖο πάλαι μεμογηότος ἄνθην,
ἄλλοτε κληματόεσσαν ἐν ὄξεϊ θρύπτεο τέφρην·
δήποτε ῥιζάδα τρῖβε πυρίτιδα βάμματι χραίνων
ἠὲ λίτρον, τοτὲ φύλλον ἐναλδόμενον πρασιῇσι
καρδαμίδος, Μῆδόν τε καὶ ἐμπρίοντα σίνηπυν·
σὺν δὲ καὶ οἰνηρὴν φλογιῇ τρύγα τεφρώσαιο
ἠὲ πάτον στρουθοῖο κατοικάδος· ἐκ δὲ βαρεῖαν
χεῖρα κατεμματέων ἐρύγοι λωβήμονα κῆρα.
[para]Ἢν δὲ λιπορρίνοιο ποτὸν δυσάλυκτον ἰάψῃ
φαρμακίδος σαύρης πανακηδέος ἣν σαλαμάνδρην
κλείουσιν, τὴν οὐδὲ πυρὸς λωβήσατο λιγνύς,
αἶψα μὲν ἐπρήσθη γλώσσης βάθος, ἂψ δ’ ὑπὸ μάλκης
δάμνανται, βαρύθων δὲ κακὸς τρόμος ἅψεα λύει·
οἱ δὲ περισφαλόωντες ἅτε βρέφος ἑρπύζουσι
τετραποδί· νοεραὶ γὰρ ἀπὸ φρένες ἀμβλύνονται·
σάρκα δ’ ἐπιτροχόωσαι ἀολλέες ἄκρα πελιδναί
σμώδιγγες στίζουσι κεδαιομένης κακότητος.
τῷ δὲ σὺ πολλάκι μὲν πεύκης ἀπὸ δάκρυ’ ἀμέρξας
τενθρήνης ἀνάμιγδα πόροις ἐν πίοσιν ἔργοις,
ἠὲ χαμαιπίτυος βλαστήμονος ἄμμιγα κώνοις
φύλλα καθεψήσειας ὅσους ἐθρέψατο πεύκη·
ἄλλοτε δὲ σπέραδος κνίδης μυλοεργέι μίσγων
τερσαίνοις ὀρόβοιο παλήματι· καί ποτε κνίδην
ἑψαλέην κρίμνοισι παλυνάμενος ψαθυροῖσιν
εὖ λίπεϊ χραίνοιο, βορῆς δ’ ἀέκοντα κορέσκοις.
ναὶ μὴν ῥητίνη τε καὶ ἱερὰ ἔργα μελίσσης
ῥίζα τε χαλβανόεσσα καὶ ὤεα θιβρὰ χελύνης
ἀλθαίνει τότε νέρθε πυρὸς ζαφελοῖο κεραίης·
ἀλθαίνει καὶ γέντα συὸς φλιδόωντος ἀλοιφῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμμίγδην ἁλίοιο καθεψηθέντα χελύνης
γυίοις ἥ τ’ ἀκιρῇσι διαπλώει πτερύγεσσιν,
ἄλλοτε δ’ οὐρείης κυτισηνόμου ἥν τ’ ἀκάκητα
αὐδήεσσαν ἔθηκεν ἀναύδητόν περ ἐοῦσαν
Ἑρμείης· σαρκὸς γὰρ ἀπ’ οὖν νόσφισσε χέλειον
αἰόλον ἀγκῶνας δὲ δύω παρετείνατο πέζαις.
καί τε σύ γ’ ἢ γερύνων λαιδροὺς δαμάσαιο τοκῆας
ἄμμιγα δὲ ῥίζας ἠρυγγίδας, ἢ καὶ ἐπαρκές
θάλπε βαλὼν χύτρῳ σκαμμώνιον. οἷσι κορέσκων
ἀνέρα καὶ θανάτοιο πέλας βεβαῶτα σαώσεις.
[para]Ἢν γε μὲν ἐκ φρυνοῖο θερειομένου ποτὸν ἴσχῃ,
ἢ ἔτι καὶ κωφοῖο λαχειδέος ὅς τ’ ἐνὶ θάμνοις
εἴαρι προσφύεται μορόεις λιχμώμενος ἔρσην,
τῶν ἤτοι θερόεις μὲν ἄγει χλόον ἠύτε θάψου,
γυῖα δὲ πίμπρησιν, τὸ δὲ συνεχὲς ἀθρόον ἄσθμα
δύσπνοον ἐκφέρεται παρὰ χείλεσι δ’ ἐχθρὸν ὄδωδεν.
αὐτὰρ ὅ γ’ ἄφθογγός τε καὶ ἐν δονάκεσσι θαμίζων
πολλάκι μὲν πύξοιο χλόον κατεχεύατο γυίοις,
ἄλλοτε δ’ ὑγραίνει χολόεν στόμα· καί ποτε λυγμοί
ἀνέρα καρδιόωντα θαμειότεροι κλονέουσι·
δὴν δὲ κατικμάζων ἄγονον σπόρον ἄλλοτε φωτός,
πολλάκι θηλυτέρης, σκεδάων γυίοισι τέλεσκε.
ἀλλὰ σὺ τῷ βατράχοιο καθεφθέον ἠὲ καὶ ὀπτήν
σάρκα πόροις, ὁτὲ πίσσαν ἐν ἡδέι μίγμενος οἴνῃ·
καί τε σπλὴν ὀλοοῖο κακὸν βάρος ἤρκεσε φρύνης,
λιμναίης φρύνης πολυηχέος ἥ τ’ ἐπὶ φύκει
πρῶτον ἀπαγγελέουσα βοᾷ θυμάρμενον εἶαρ.
ναὶ μὴν τοῖς ὁτὲ νέκταρ ἀφυσγετὸν ἐν δεπάεσσι
χεύαις εἰς ἔμετον δὲ καὶ οὐ χατέοντα πελάζοις,
ἠὲ πίθου φλογιῇ θάλψας κύτος αἰὲν ἐναλθῆ
ἀνέρα θερμάσσαιο, χέαι δ’ ἀπὸ νήχυτον ἱδρῶ·
καί τε καὶ αὐξηρῶν δονάκων ἀπὸ ῥιζέα κόψας
οἴνῃ ἐπεγκεράσαιο, τὰ δή ῥ’ ὑποτέτροφε λίμνη
οἰκείη τόθι λεπτὰ διὲκ ποσὶν ἑρπετὰ νήχει,
ἠὲ φιλοζώοιο κυπείριδος ἠὲ κυπείρου,
αὐτόν τ’ ἠνεκέεσσι τρίβοις πανάπαστον ἐδωδῆς
καὶ πόσιος ξήραινε, κατατρύσαιο δὲ γυῖα.
[para]Ἐχθραλέον δέ σε μή τι λιθάργυρος ἀλγινόεσσα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λήσειεν τότε γαστρὶ πέσῃ βάρος, ἀμφὶ δὲ μέσσον
πνεύματ’ ἀνειλίσσοντα κατ’ ὀμφάλιον βρομέῃσιν,
οἷά περ εἰλίγγοιο δυσαλθέος ὅς τε δαμάζει
ἀνέρας ἀπροφάτοισιν ἐνιπλήσσων ὀδύνῃσιν.
οὐ μὲν τῶν γ’ οὔρων ἄνυται ῥύσις, ἀμφὶ δὲ γυῖα
πίμπραται, αὐτάρ που μολίβῳ εἰδήνατο χροιή.
τῷ δ’ ὁτὲ μὲν σμύρνης ὀδελοῦ πόρε διπλόον ἄχθος,
ἄλλοτε δ’ ὁρμίνοιο νέην χύσιν, ἄλλοτε κόψαις
οὐρείην ὑπέρεικον, ὅθ’ ὑσσώπου ὀροδάμνους,
πολλάκι δ’ ἀγριόεντα κράδην, σπέραδός τε σελίνου
Ἴσθμιον, ᾧ θ’ ὑπὸ κοῦρον ἁλίβλαπτον Μελικέρτην
Σισυφίδαι κτερίσαντες ἐπηέξησαν ἀέθλους.
ἠὲ σύ γ’ ἐν πέπεριν ῥυτῇ συνομήρεα φώξας
οἴνῳ ἐνιτρίψαιο, κακῆς δ’ ἀπερύκεο νούσου·
κύπρου τε βλαστεῖα νεανθέα, πολλάκι σίδης
πρωτόγονον κυτίνοιο πόροις ἀνθήμονα καρπόν.
[para][Μὴ μὲν δὴ σμῖλον σὺ κακὴν ἐλατηίδα μάρψαις
Οἰταίην, θανάτοιο πολυκλαύτοιο δότειραν,
ἥν τε καὶ ἐμπλείουσα χαλικροτέρη πόσις οἴνης
οἴη ἐπαλθήσειε παρὰ χρέος ἡνίκα φωτός
ἴσθμια καὶ φάρυγος στεινὴν ἐμφράσσεται οἶμον.
[para]Καὶ τὰ μὲν οὖν Νίκανδρος ἑῇ ἐνικάτθετο βίβλῳ
μοχθήεντα μύκητα παρ’ ἀνέρι φαρμακόοντα.
πρὸς δ’ ἔτι τοῖς Δίκτυννα τεῆς ἐχθήρατο κλῶνας
Ἥρη τ’ Ἰμβρασίη μούνη στέφος οὐχ ὑπέδεκτο,
κάλλεος, οὕνεκα Κύπριν, ὅτ’ εἰς ἔριν ἠέρθησαν
ἀθάναται, κόσμησεν ἐν Ἰδαίοισιν ὄρεσσι—
τῆς σύ γ’ ἀπ’ εὐύδροιο νάπης, εὐαλθὲς ὄνειαρ,
καρπὸν πορφυρόεντα συναλδέα χειμερίῃσιν
ἠελίου θαλφθέντα βολαῖς δοίδυκι λεήνας,
χυλὸν ὑπὲρ λεπτῆς ὀθόνης ἢ σχοινίδι κύρτῃ
ἐκθλίψας πορέειν κυάθου κοτυληδόνα πλήρη—
ἢ πλεῖον, πλεῖον γὰρ ὀνήιον· οὐ γὰρ ἀνιγρόν
πῶμα βροτοῖς—τόδε γάρ τε καὶ ἄρκιον αἴ κε πίῃσθα.]
[para]Καί κ’ ἔνθ’ ὑμνοπόλοιο καὶ εἰσέτι Νικάνδροιο
μνῆστιν ἔχοις, θεσμὸν δὲ Διὸς ξενίοιο φυλάσσοις.